Quæ autem in dentes, plus quidem pili, quàm cornigera, obtinent: capronatum enim nõnthil ſortiuntur, ſed minus, quàm aues. His enim illud etiam, quod homini, genus integendi natura tribuit: ſed quod illis præ copia nutrimẽti multis luxuriat locis, id in capite homini abundat. Nec enim nullum habet, nec adeò multum vt pilorum vndique excreſcat congeries. 62 Cur vnus omniũ animãtium homo caneſcit? An quòd pars animãtium maxima pilum quotannis deciduum gerit, vt equus, vt bos: nonnulla deciduum non gerunt, tempus autem viuunt breue, vt oues, & quædam alia, quorum pilus, vt pote nõ ſeneſcens, caneſcere non poteſt. At homo nec deciduum gerit pilum, & longam degit ętatem, itaque breui tempore ſeneſcit, atque inueteratur. 63 Cur vita breui, imbecilliſque viribus ſunt, qui partem vmbilico ſubiectã maiorẽ, quàm ſuperiorem habent pertinentem ad pectus? An quod venter ſuam ob breuitatem frigidus eſt: itaque vt vim paruam obtinet concoquendi, ſic excrementis redundare aptiſſimus eſt. Morbis autem nimirum patent, qui tali vẽtre conſtiterint. 64 Quã ob cauſam animantium alia non ſolùm coitu, ſed etiam ſponte naturæ procreantur, alia coitu duntaxat proueniũt, vt homo, vt equus? An quòd etſi non aliam ob cauſam, tamen quòd aliis gignendi tempus breue ſtatutum eſt. Itaque fieri nõ poteſt, vt tempus, quod vim obtinet generãdi, amplificetur, prorogetúrque: ſed tẽporum viciſſitudine, commutationéque vt procreentur contingit. Aliis multo generatio ampliari ſolet: etenim vel anno, ſed decem menſiũ ſpatio confici aſſolet. Quapropter vel nullo pacto vel ex coitu procreentur illa, neceſſe eſt. 65 Cur Æthiopum dentes candidi, & candidiores, quàm cæterorũ, vngues autẽ nõ dẽtibus in candore reſpondeant? An vngues ideo nigricant, quia cutis etiam nigra eſt, & nigrior, quàm cæterorum: vngues autem ex cute proueniunt. 66 Sed cur dentes cãdeant, quænã ratio ſit? An quod albeſcere illa ſolent, quibus vis Solis humorẽ detrahit, dũmodo nihil ſuper inficiatur, quo modo etiã cerã albeſcere nouimus. At cutẽ ſuperinficit calor, dẽtes minimè: ſed totus eorum humor in vaporem à calore conuertitur, atq. exhalatur. 67 Cur animantiũ alia præciſo capite vel protinus moriũtur, vel paulo pòſt, alia minimè? An ita afficiãtur quæ ſanguine carẽt, exiguóq. cibo contenta ſunt: quippe quæ neq. cõtinuo cibũ deſiderent, neq. in humore calor eorũ diffundatur, quibus rebus priuatũ animal ſanguine cõſtãs viuere nequit. Illa vero ſine reſpiratione viuere multo diutiùs poſſunt. Cauſam cur ita, alias abũdè reddidimus.

A ὅσα δὲ εἰς ὀδόντας, μᾶλλον μὲν τῶν κερατοφόρων· ἔχει γὰρ λοφιάν· ἧττον δὲ τῶν τοιούτων, οἷον ὀρνέων. ἔχουσι γὰρ ταῦτα καὶ τὴν τῶν ἀνθρώπων· ὃ ἐκείνοις πολλαχῇ διὰ πλῆθος, τοῦτο εἰς κεφαλὴν ἐκδίδωσιν. οὐδὲ γὰρ οὐδὲν ἔχει, οὐδὲ πολὺ οὕτως ὥστε πανταχῇ. νϛ Διὰ τί ἄνθρωπος μόνος τῶν ζώων πολιὰς ἔχει; ἢ ὅτι τὰ μὲν πλεῖστα τῶν ζώων, ῥυάδα τὴν τρίχα ἀνὰ πᾶν ἔτος ἔχει, οἷον ἵππος, βοῦς; ἔνια δέ, ῥυάδα
B μὲν οὐκ ἔχει, βραχύβια δέ εἰσι, καθάπερ πρόβατον καὶ ἄλλα· οὗ ἡ θρὶξ ὥσπερ οὐ γηράσκουσα, οὐδὲ πολιοῦται. ὁ δὲ ἄνθρωπος, οὐδὲ ῥυάδα ἔχει τὴν τρίχα, μακρόβιός τέ ἐστιν· ὥστε ὑπὸ τοῦ χρόνου παλαιοῦται. νζ Διὰ τί ὅσοις τὰ ἀπὸ τοῦ ὀμφαλοῦ κάτω μείζονα, ἢ τὰ πρὸς τὰ στήθη, βραχύβιοι καὶ ἀσθενεῖς; ἢ ὅτι ἡ κοιλία ψυχρὰ διὰ μικρότητα· ὥστε οὐ πεπτική,
C ἀλλὰ περιττωματική; οἱ δὲ τοιοῦτοι, νοσεροί. νη Διὰ τί τὰ μὲν γίνεται τῶν ζώων, οὐ μόνον ἐξ ἀλλήλων, ἀλλὰ καὶ αὐτόματα· τὰ δέ, ἐξ ἀλλήλων μόνον, οἷον ἄνθρωπος καὶ ἵππος; ἢ κἂν εἰ καὶ μὴ δι' ἑτέρας αἰτίας, ἀλλ' ὅτι τοῖς μὲν ὀλίγος ὁ χρόνος τῆς γενέσεως· ὥστε ἡ γεννητικὴ ὥρα ὑπερτείνει, καὶ ἐνδέχεται γενέσθαι ἐν τῇ μεταβολῇ τῶν ὡρῶν; τῶν δὲ πολὺ
D ἡ γένεσις ὑπερτείνει, ἐνιαύσιοι γάρ, ἢ δεκάμηνοί εἰσιν· ὥστε ἀνάγκη γίνεσθαι, ἢ ἐξ ἀλλήλων γίνεσθαι. νθ Διὰ τί τῶν Αἰθιόπων οἱ μὲν ὀδόντες, λευκοί, καὶ λευκότεροι ἢ οἱ τῶν ἄλλων· οἱ δὲ ὄνυχες, οὐκ ἔτι; ἢ οἱ μὲν ὄνυχες ὅτι καὶ τὸ δέρμα μέλαν, καὶ μελαίτερον ἢ τῶν ἄλλων· οἱ δὲ ὄνυχες ἐκ τοῦ δέρματος φύονται. οἱ δὲ ὀδόντες λευκοὶ διὰ τί; ἢ ὅτι ἐξ ὧν ὁ ἥλιος τὸ ὑγρὸν ἐξάγει, αὐτοῦ
E τοῦ ἐπιβάπτειν λευκαίνεται, οἷον καὶ τὸν κηρόν; τὸ μὲν οὖν δέρμα ἐπιβάπτει, [τοὺς δὲ ὀδόντας οὐκ ἐπιβάπτει,] ἀλλὰ τὸ ὑγρὸν διὰ τὴν ἀλέαν ἐξατμίζεται ἐξ αὐτῶν. ξ Διὰ τί τὰ μέν, ἀφαιρουμένης τῆς κεφαλῆς, ἀποθνήσκει εὐθύς, ἢ ταχύ· τὰ δέ, οὔ; ἢ ὅσα ἄναιμα καὶ ὀλιγότροφα, τοῦτο πάσχει; οὔτε τροφῆς γὰρ δεῖται ταχύ· οὔτε ἐγχεῖται αὐτῶν τὸ θερμὸν ἐν τῷ ὑγρῷ. ὧν ἄνευ
F οὐχ οἷόν τε ζῆν τοῖς ἐναίμοις. τούτοις δὲ οἷόν τέ ἐστιν ἀπνευστί. ζῆν γὰρ δύνανται πολὺ μᾶλλον. ἡ δὲ αἰτία ἐν ἑτέροις εἴρηται.